σοι βασιλεῦ, ὅτι ὁ αἴσωπος ζῇ. ἀλλὰ διὰ τὸν βασι-
λικὸν νόμον, ζῶντα αὐτὸν εἰς τάφον ἔβαλον, τρέφων
αὐτὸν ἄρτῳ καὶ ὕδατι. ἀκούσας δὲ ὁ βασιλεὺς καὶ ἐξ
ἀνελπίστων χαρᾶς πλησθεὶς ἀναστὰς ἀπὸ τοῦ ἐδάφους
ἠσπάσατο τῷ σώματι τὸν ἑρμιππον, καὶ φησί, εἴθε ἠ-
δυνάμην τὴν σήμερον ἡμέραν αἰωνίαν ποιῆσαι, ἐὰν
ἀληθεύῃς ὅτι αἴσωπος ζῇ. ἐκεῖνον γὰρ τηρήσας τὴν
ἐμὴν ἐτήρησας βασιλείαν, καὶ παραχρῆμα κελεύει
αὐτὸν κληθῆναι: παραγενομένου δὲ τοῦ αἰσώπου ἐν ῥύ-
πῳ καὶ κόνει διὰ τὴν χρόνιον κάθειρξιν, ἀποστραφεὶς
ὁ βασιλεὺς ἐδάκρυσε. καὶ αὐτίκα ἐκέλευσεν αὐτὸν λου-
σάμενον ἀλλάξαι. ὁ δὲ αἴσωπος εἰς αὐτὸν γενόμενος
καταστὰς ἠσπάσατο τὸν βασιλέα. καὶ ἀπελογήσα-
το ὑπὲρ ὧν κατηγόρησεν αὐτοῦ αἶνος ὁ παῖς αὐτοῦ

http://digital.slub-dresden.de/ppn346259193/91